ἀλλὰ περὶ τοῦ δικαίου. ἐπὶ φαινομένῃ γὰρ ἀδικίᾳ ἡ ὀργή ἐστιν· οὐ γὰρ ὥσπερ ἐν τοῖς συναλλάγμασι περὶ τοῦ γενέσθαι ἀμφισβητοῦσιν, ὧν ἀνάγκη τὸν ἕτερον εἶναι μοχθηρόν, ἂν μὴ διὰ λήθην αὐτὸ δρῶσιν· ἀλλ' ὁμολογοῦντες περὶ τοῦ πράγματος, περὶ τοῦ ποτέρως δίκαιον ἀμφισβητοῦσιν. ὁ δ' ἐπιβουλεύσας, οὐκ ἀγνοεῖ· ὥστε, ὁ μὲν οἴεται ἀδικεῖσθαι, ὁ δ' οὔ· ἂν δ' ἐκ προαιρέσεως βλάψῃ, ἀδικεῖ. καὶ κατὰ ταῦτα ἤδη τὰ ἀδικήματα ὁ ἀδικῶν ἄδικος, ὅταν παρὰ τὸ ἀνάλογον ᾖ, ἢ παρὰ τὸ ἴσον. ὁμοίως δὲ καὶ ὁ δίκαιος, ὅταν προελόμενος δικαιοπραγῇ. δικαιοπραγεῖ δέ, ἂν μόνον ἑκὼν πράττῃ. τῶν δ' ἀκουσίων, τὰ μέν, ἐστι συγγνωμονικά· τὰ δ', οὐ συγγνωμονικά· ὅσα μὲν γὰρ μὴ μόνον ἀγνοοῦντες, ἀλλὰ καὶ δι' ἄγνοιαν ἁμαρτάνουσι, συγγνωμονικά· ὅσα δὲ μὴ δι' ἄγνοιαν, ἀλλ' ἀγνοοῦντες μέν, διὰ πάθος δέ, μήτε φυσικόν, μήτ' ἀνθρωπικόν, οὐ συγγνωμονικά.

Κεφάλαιον ια.

ΑΠορήσειε δ' ἄν τις, εἰ ἱκανῶς διώρισται περὶ τοῦ ἀδικεῖσθαι καὶ τοῦ ἀδικεῖν. πρῶτον μέν, εἰ ἔστιν ὥσπερ Εὐριπίδης εἴρηκε, λέγων ἀτόπως,

Μητέρα κατέκτα τὴν ἐμήν· βραχὺς λόγος,

Ἑκὼν ἑκοῦσαν, ἢ θέλουσαν οὐχ ἑκών·

πότερον γὰρ ὡς ἀληθῶς ἔστιν, ἑκόντα ἀδικεῖσθαι, ἢ οὒ ἀλλ' ἀκούσιον ἅπαν, ὥσπερ καὶ τὸ ἀδικεῖν πᾶν ἑκούσιον. καὶ ἆρα ἅπαν οὕτως ἢ ἐκείνως, ὥσπερ καὶ τὸ ἀδικεῖν πᾶν ἑκούσιον; ἢ τὸ μέν, ἑκούσιον· τὸ δ', ἀκούσιον· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοῦσθαι· τὸ γὰρ δικαιοπραγεῖν πᾶν ἑκούσιον. ὥστ' εὔλογον ἀντικεῖσθαι ὁμοίως καθ' ἑκάτερον, τό, τ' ἀδικεῖσθαι καὶ τὸ δικαιοῦσθαι, ἢ ἑκούσιον, ἢ ἀκούσιον εἶναι. ἄτοπον δ' ἂν δόξειε καὶ ἐπὶ τοῦ δικαιοῦσθαι, εἰ ἅπαν ἑκούσιον· ἔνιοι γὰρ δικαιοῦνται οὐχ ἑκόντες· ἐπεὶ καὶ τόδε διαπορήσειεν ἄν τις, πότερον ὁ τὸ ἄδικον πεπονθώς, ἀδικεῖται πᾶς· ἢ ὥσπερ καὶ ἐπὶ τοῦ πράττειν, καὶ ἐπὶ τοῦ πάσχειν ἐστί· κατὰ συμβεβηκὸς γὰρ ἐνδέχεται ἐπ' ἀμφοτέρων μεταλαμβάνειν τῶν δικαίων. ὁμοίως δὲ δῆλον, ὅτι καὶ ἐπὶ τῶν ἀδίκων· οὐ γὰρ ταὐτὸν τὸ τὰ ἄδικα πράττειν, τῷ ἀδικεῖν· οὐδὲ τὸ ἄδικα πάσχειν, τῷ ἀδικεῖσθαι· ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δικαιοπραγεῖν

A Præterea neque hic factum ſit néne, ſed iuréne an iniuria factum ſit controuerſia eſt: ira ſiquidem apparens iniuſtitia eſt. non enim ſicut in commerciis factúmne ſit, contendunt, vbi neceſſe eſt alterum prauum omnino eſſe, niſi ex obliuione id faciant: ſed de facto conſentientes, iuréne an iniuria id factum ſit, altercantur: quod qui inſidioſè fecit, minimè ignorat. quare alter iniuria ſe eſſe affectum putat, alter minimè. Si autem ex electione læſerit, in-

B iuſtè agit: & ex his iam iniuſtè factis iniuſtus eſt, qui iniuriam facit: cùm vel præter proportionem fuerint, aut æquum. ſimili modo etiam iuſtus eſt vnuſquiſque, cùm ex electione iuſtè egerit. iuſtè agit autem, ſi tantummodo ſponte agat. At ex iis, quæ inuiti agimus, alia ignoſcenda ſunt, alia minimè, nam quæ non modò ignorantes, ſed ex ignoratione committimus, ſunt ignoſcenda: quæ verò non ex ignoratio-

C ne, ſed ignorantes facimus, ex affectu tamen neque naturali neque humano, venia digna minimè ſunt.

CAPVT XI.

DVbitare autem quiſpiam poſſet, an ſatis de facienda patiendáque iniuria definitum ſit. Ac primum an ſit id quod Euripides dixit: abſurdè inquiens:

Quomodo parentem occiderim exponam breui:

D *Volens volentem, vel volentem non volens.*

Vtrum re vera fieri poſſit, vt ſponte quiſpiam iniuria afficiatur, necne, an omne id inuitum ſit? quemadmodum iniuria afficere quoque ſpontaneum totum eſt: an ſpontaneum aliud, aliud ſit inuitum? Et ſimili modo de iuſtificando: iuſtè agere enim ſpontaneum totum eſt: vt meritò

E vtroque modo opponi debeat, & iniuria affici & iuſtificari: vt vel ſpontaneum vel inuitum vtrunque eſſe affirmemus. Abſurdum autẽ videretur, ſi iuſtificari ſpontaneum eſſe totum diceremus: quippe cùm nonnulli ſint, qui non ſpõte iuſtificentur. Nam etiam de eo dubitaret quiſpiam, vtrum vnuſquiſque qui iniuſtum aliquid paſſus eſt, iniuria quoque afficiatur: an ſicut in agendo, ita in patiendo quoque res

F ſeſe habeat. fieri enim poteſt, vt in vtriſque ex accidenti iuſta conſequamur. idem autem in iniuſtis quoque euenire manifeſtum eſt: quippe cùm non idem ſit iniuſta agere & iniuſtè agere, id eſt iniuria afficere: neq. iniuſta pati, & iniuria affici. ſimiliter quoque iuſtè agere quempiam